καὶ ἄρωμεν αὐτοῦ τὴν μνήμην ἐκ γῆς·
13 τὴν κτῆσιν αὐτοῦ τὴν πολυτελῆ καταλαβώμεθα,
πλήσωμεν δὲ οἴκους ἡμετέρους σκύλων·
14 τὸν δὲ σὸν κλῆρον βάλε ἐν ἡμῖν,
κοινὸν δὲ βαλλάντιον κτησώμεθα πάντες,
καὶ μαρσίππιον ἓν γενηθήτω ἡμῖν.
15 μὴ πορευθῇς ἐν ὁδῷ μετ' αὐτῶν,
ἔκκλινον δὲ τὸν πόδα σου ἐκ τῶν τρίβων αὐτῶν·
16 οἱ γὰρ πόδες αὐτῶν εἰς κακίαν τρέχουσιν
καὶ ταχινοὶ τοῦ ἐκχέαι αἷμα·
17 οὐ γὰρ ἀδίκως ἐκτείνεται δίκτυα πτερωτοῖς.
18 αὐτοὶ γὰρ οἱ φόνου μετέχοντες θησαυρίζουσιν ἑαυτοῖς κακά,
ἡ δὲ καταστροφὴ ἀνδρῶν παρανόμων κακή.
19 αὗται αἱ ὁδοί εἰσιν πάντων τῶν συντελούντων τὰ ἄνομα·
τῇ γὰρ ἀσεβείᾳ τὴν ἑαυτῶν ψυχὴν ἀφαιροῦνται.
20 Σοφία ἐν ἐξόδοις ὑμνεῖται,
ἐν δὲ πλατείαις παρρησίαν ἄγει,
21 ἐπ' ἄκρων δὲ τειχέων κηρύσσεται,
ἐπὶ δὲ πύλαις δυναστῶν παρεδρεύει,
ἐπὶ δὲ πύλαις πόλεως θαρροῦσα λέγει
22 Ὅσον ἂν χρόνον ἄκακοι ἔχωνται τῆς δικαιοσύνης, οὐκ αἰσχυνθήσονται·
οἱ δὲ ἄφρονες, τῆς ὕβρεως ὄντες ἐπιθυμηταί,
ἀσεβεῖς γενόμενοι ἐμίσησαν αἴσθησιν
23 καὶ ὑπεύθυνοι ἐγένοντο ἐλέγχοις.
ἰδοὺ προήσομαι ὑμῖν ἐμῆς πνοῆς ῥῆσιν,
διδάξω δὲ ὑμᾶς τὸν ἐμὸν λόγον.
24 ἐπειδὴ ἐκάλουν καὶ οὐχ ὑπηκούσατε
καὶ ἐξέτεινον λόγους καὶ οὐ προσείχετε,
25 ἀλλὰ ἀκύρους ἐποιεῖτε ἐμὰς βουλάς,
τοῖς δὲ ἐμοῖς ἐλέγχοις ἠπειθήσατε,
26 τοιγαροῦν κἀγὼ τῇ ὑμετέρᾳ ἀπωλείᾳ ἐπιγελάσομαι,
καταχαροῦμαι δέ, ἡνίκα ἂν ἔρχηται ὑμῖν ὄλεθρος,
27 καὶ ὡς ἂν ἀφίκηται ὑμῖν ἄφνω θόρυβος,
ἡ δὲ καταστροφὴ ὁμοίως καταιγίδι παρῇ,
καὶ ὅταν ἔρχηται ὑμῖν θλῖψις καὶ πολιορκία,
ἢ ὅταν ἔρχηται ὑμῖν ὄλεθρος.

**13**$^{2}$ ημετερων S || **14**$^{3}$ εν > S*† || **15**$^{1}$ init.] pr. υιε μου *O*, pr. υιε S$^{c}$† | εν οδω] οδους A | 15$^{2}$ τον ποδα σου] τον σον π. A† || **16** > BS* | 16$^{2}$ ταχινοι] + εισιν S$^{s}$ || **23**$^{1}$ υπευθ. εγεν.] υπευθυνοντο S*† || **24**$^{1}$ υπηκουετε S*A† || **25**$^{2}$ ηπειθησατε B†] ουχ υπηκουσ. V†: ex 24$^{1}$; ου προσειχετε rel.; cf. 24$^{2}$ || **27**$^{3}$ και 1$^{0}$] η A